eul_wid: vcc-ab

*Ἀλέξανδρος ὁ Τραλλιανός* · Alexander of Tralles

# Dedication to Cosmas

*Ἀφιέρωσις πρὸς Κοσμᾶν*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἰατρική* Medicine
**Format:** *Πραγματεία* Treatise

1.289 Αἰτήσαντί σοι, Κοσμᾶ φίλτατε, τὰς ἐκ πείρας ἡμῖν πολλάκις ἀνυσθείσας ἐπὶ διαφόρων νοσημάτων ἐκθέσθαι θεραπείας ἑτοίμως ὑπήκουσα χάριτας ἀμφοτέροις εἰκότως ὁμολογῶν σοί τε καὶ τῷ σῷ πατρὶ τῆς εἰς ἐμὲ παρ' ὑμῶν φιλοφρόνως ἑκάστοτε γενομένης εὐνοίας· ὁ μὲν γὰρ ἐξ ἀρχῆς εὐθὺς οὐ μόνον ἐν τοῖς ἔργοις τῆς τέχνης, ἀλλὰ καὶ τῶν κατὰ βίον πραγμάτων ἁπάντων δεξιὸς ὑπουργὸς ἐγένετο· σὺ δὲ μετὰ βαρβάρων τὴν ἀναστροφὴν μὲν ποιούμενος διὰ τὴν τῶν βιασαμένων ἡμᾶς πραγμάτων περίστασιν παριδεῖν οὐκ ἐκαρτέρησας· διὸ καὶ γέρων λοιπὸν πειθαρχῶ καὶ κάμνειν οὐκέτι δυνάμενος τοῦτο τὸ βιβλίον ἔγραψα συντάξας τὰς μετὰ πολλῆς τριβῆς ἐν ταῖς τῶν ἀνθρώπων νόσοις καταληφθείσας πείρας, τέρψει δὲ πολλοὺς εὖ οἶδα τῶν εἰς φθόνον μὴ θελόντων βλέπειν τό τε εὐμέθοδον τῶν θεωρημάτων καὶ τὸ σύντομον ἅμα καὶ σαφὲς τῆς λέξεως. ἐσπούδασα γὰρ, ὡς ἐνδέχεται, κοιναῖς καὶ μᾶλλον εὐδήλοις χρήσασθαι λέξεσιν, ἵνα καὶ τοῖς τυχοῦσιν ἐκ τῆς φράσεως εὔλυτον εἴη τὸ σύνταγμα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org